STEREO AND MONO

33 YBZ 1239

# ΑΝΟΙΞΑΝΤΑΡΙΑ

(ΘΕΟΔΩΡΟΥ ΦΩΚΑΕΩΣ †1851)



# ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ...

(ΜΑΝΟΥΗΛ ΠΡΩΤΟΨΑΛΤΟΥ †1819)

**Ἀπὸ τὴν ὑμνολογίαν τῆς ἐκκλησίας μας**

ΥΠΟ ΒΥΖΑΝΤΙΝΗΣ ΧΟΡΩΔΙΑΣ
ΤΟΥ ΠΑΝΕΛΛΗΝΙΟΥ ΣΥΛΛΟΓΟΥ ΙΕΡΟΨΑΛΤΩΝ
"ΡΩΜΑΝΟΣ Ο ΜΕΛΩΔΟΣ ΚΑΙ ΙΩΑΝΝΗΣ Ο ΔΑΜΑΣΚΗΝΟΣ".

ΥΠΟ ΤΗΝ ΔΙΕΥΘΥΝΣΙΝ
ΤΟΥ ΑΝΤΩΝ. ΜΠΕΛΟΥΣΗ
ΕΠΙΜΕΛΕΙΑ:
ΑΠΟΣΤΟΛ. ΒΑΛΛΗΝΔΡΑ

ΔΙΣΚΟΘΗΚΗ ΖΩΗ

STEREO AND MONO

33 YBZ 1239

# ΑΝΟΙΞΑΝΤΑΡΙΑ – ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ...

(ΘΕΟΔΩΡΟΥ ΦΩΚΑΕΩΣ †1851) (ΜΑΝΟΥΗΛ ΠΡΩΤΟΨΑΛΤΟΥ †1819)

ΑΝΟΙΧΑΝΤΑRIA – MAKARIOS ANER
By Greek Orthodox Choir

**63**

ΔΙΣΚΟΣ
ΕΞΗΚΟΣΤΟΣ
ΤΡΙΤΟΣ


**1** ΥΜΝΟΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ **2** ΥΜΝΟΙ ΘΕΟΦΑΝΕΙΩΝ **3** Ο ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ **4** ΥΜΝΟΙ ΟΡΘΡΟΥ ΤΡΙΩΔΙΟΥ **5** ΥΜΝΟΙ Μ. ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ **6** ΥΜΝΟΙ ΚΑΤΑΝΥΚΤΙΚΟΥ ΕΣΠΕΡΙΝΟΥ **7** ΥΜΝΟΙ Μ. ΑΠΟΔΕΙΠΝΟΥ **8** ΥΜΝΟΙ Μ. ΕΒΔΟΜΑΔΟΣ **9** ΥΜΝΟΙ ΑΝΑΣΤΑΣΕΩΣ **10** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ (ΠΛΑΓ. Δ΄ ΗΧΟΥ) **11** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΠΛΑΓ. Δ΄ ΗΧΟΥ) **12** ΥΜΝΟΙ ΜΙΚΡΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ **13** ΥΜΝΟΙ ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ **14** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ **15** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ (ΒΑΡΕΟΣ ΗΧΟΥ) **16** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΒΑΡΕΟΣ ΗΧΟΥ) **17** ΥΜΝΟΙ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ (ΕΙΣ ΗΧΟΝ Γ΄) **18** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Α΄ & Β΄ ΗΧΟΥ) **19** ΔΟΞΟΛΟΓΙΑΙ **20** ΠΟΛΥΕΛΕΟΙ **21** ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ (ΤΡΙΦΩΝΟΣ) **22** ΒΥΖΑΝΤΙΝΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ **23** ΥΜΝΟΙ ΝΥΜΦΙΩΝ (ΟΡΘΡΟΣ Μ. ΔΕΥΤΕΡΑΣ & Μ. ΤΡΙΤΗΣ) **24** ΤΕΤΡΑΦΩΝΟΣ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ **25** ΥΜΝΟΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ (Α΄ ΕΣΠΕΡΙΝΟΣ) **26** ΥΜΝΟΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ (Β΄ ΟΡΘΡΟΣ) **27** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Γ΄ & Δ΄) **28** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΚΑΤ΄ ΕΚΛΟΓΗΝ) **29** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ (ΠΛΑΓΙΟΥ Β΄ ΗΧΟΥ) **30** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΠΛΑΓΙΟΥ Β΄ ΗΧΟΥ) **31** ΥΜΝΟΙ ΝΥΜΦΙΩΝ ΟΡΘΡΟΣ Μ. ΤΕΤΑΡΤΗΣ (Μ. ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ) **32** ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΗΣ **33** ΥΜΝΟΙ ΘΕΟΦΑΝΕΙΩΝ **34** ΥΜΝΟΙ ΠΛΑΓΙΟΥ ΠΡΩΤΟΥ ΗΧΟΥ **35** ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ **36** ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ ΥΜΝΟΥ **37** ΥΜΝΟΙ ΜΥΣΤΙΚΟΥ ΔΕΙΠΝΟΥ ΟΡΘΡΟΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ (ΜΕΓ. ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ) **38** ΥΜΝΟΙ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ (ΕΣΠΕΡΙΝΟΣ - ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ) **39** ΥΜΝΟΙ ΕΚ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΠΡΩΤΟΚΟΡΥΦΑΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΕΤΡΟΥ ΚΑΙ ΠΑΥΛΟΥ (29 ΙΟΥΝΙΟΥ) **40** ΥΜΝΟΙ ΤΕΤΑΡΤΟΥ ΗΧΟΥ **41** ΥΜΝΟΙ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ **42** ΥΜΝΟΙ ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ (2 ΦΕΒ.) **43** ΜΕΓΑΣ ΠΑΡΑΚΛ. ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ **44** Α΄ ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΠΑΘΩΝ (ΜΕΓ. ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ) **45** Β΄ ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΠΑΘΩΝ (ΜΕΓ. ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ) **46** ΥΜΝΟΙ ΤΡΙΤΟΥ ΗΧΟΥ **47** ΥΜΝΟΙ ΔΕΥΤΕΡΟΥ ΗΧΟΥ **48** ΥΜΝΟΙ ΠΡΩΤΟΥ ΗΧΟΥ **49** ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ (6 ΑΥΓ.) **50** ΥΜΝΟΙ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΚΑΙ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ **51** ΥΜΝΟΙ ΕΟΡΤΗΣ ΠΕΡΙΤΟΜΗΣ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΑΓ. ΒΑΣΙΛΕΙΟΥ (1 ΙΑΝΟΥΑΡΙΟΥ) **52** ΥΜΝΟΙ ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ (25 ΜΑΡΤ.) **53** ΥΜΝΟΙ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ ΑΚΟΛΟΥΘΙΑ ΩΡΩΝ ΚΑΙ ΕΣΠΕΡΙΝΟΥ (ΑΠΟΚΑΘΗΛΩΣΙΣ) **54** ΑΚΟΛΟΥΘΙΑ ΕΠΙΤΑΦΙΟΥ ΘΡΗΝΟΥ **55** ΤΕΤΡΑΦΩΝΟΣ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ ΥΜΝΟΥ **56** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Ε΄ ΣΤ΄ Ζ΄ Η΄) **57** ΥΜΝΟΙ ΜΕΓΑΛΗΣ ΕΒΔΟΜΑΔΟΣ (ΤΕΤΡΑΦΩΝΟΣ) **58** ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ (14 ΣΕΠΤΕΜ.) **59** ΥΜΝΟΙ ΠΛΑΓΙΟΥ ΤΕΤΑΡΤΟΥ ΗΧΟΥ **60** ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ **61** ΥΜΝΟΙ ΤΡΙΩΔΙΟΥ (ΕΜΜΑΝΟΥΗΛ ΧΑΤΖΗΜΑΡΚΟΥ) **62** ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ (ΕΜΜΑΝΟΥΗΛ ΧΑΤΖΗΜΑΡΚΟΥ) **63** ΑΝΟΙΞΑΝΤΑΡΙΑ - ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ **64** ΥΜΝΟΙ ΒΑΡΕΟΣ ΗΧΟΥ **65** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Θ. Ι. ΙΑ. ΑΓ. ΠΑΤΕΡΩΝ)



ΕΚΔΟΣΙΣ ΖΩΗ
ΚΑΡΥΤΣΗ 14, ΑΘΗΝΑΙ


## Α΄. ΟΨΙΣ

### ΑΝΟΙΞΑΝΤΑΡΙΑ

Θεοδώρου Φωκαέως (+1851).

Ἀ ν ο ί ξ α ν τ ό ς σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Δόξα σοι Πάτερ, δόξα σοι Υἱέ, δόξα σοι τὸ Πνεῦμα τὸ ἅγιον, δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ἤ τ ω ἡ δ ό ξ α Κ υ ρ ί ο υ εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Δόξα σοι ἅγιε, δόξα σοι Κύριε, δόξα σοι Βασιλεῦ οὐράνιε, δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Δόξα σοι ἅγιε, δόξα σοι Κύριε, δόξα σοι Βασιλεῦ οὐράνιε, δόξα σοι τὸ Πνεῦμα τὸ ἅγιον, δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω. Δόξα σοι τρισυπόστατε Θεότης, Πάτερ, Υἱὲ καὶ Πνεῦμα· σὲ προσκυνοῦμεν καὶ δοξάζομεν. Δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ἡ δ υ ν θ ε ί η αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Δόξα σοι Πάτερ ἄναρχε, δόξα σοι Υἱὲ συνάναρχε, δόξα σοι τὸ Πνεῦμα τὸ ἅγιον τὸ ὁμοούσιον καὶ ὁμόθρονον. Τριὰς ἁγία δόξα σοι. Δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Δόξα σοι Πάτερ, δόξα σοι Υἱέ, δόξα σοι τὸ Πνεῦμα τὸ ἅγιον. Τριὰς ἁγία δόξα σοι. Δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ ἐγένετο νύξ. Δόξα σοι Βασιλεῦ ἐπουράνιε, δόξα σοι Παντοκράτωρ, σὺν Υἱῷ καὶ Πνεύματι. Δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. Δόξα σοι Πάτερ ἀγέννητε, δόξα σοι Υἱὲ γεννητέ, δόξα σοι τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον καὶ ἐν Υἱῷ ἀναπαυόμενον. Τριὰς ἁγία δόξα σοι. Δόξα σοι ὁ Θεός, ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός. (δίς).

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεὸς ἡμων, δόξα σοι.

#### ΕΠΙΛΥΧΝΙΟΣ ΥΜΝΟΣ

Φῶς ἱλαρὸν ἁγίας δόξης
ἀθανάτου Πατρός,
οὐρανίου, ἁγίου, μάκαρος,
Ἰησοῦ Χριστέ,
ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν,
ἰδόντες φῶς ἑσπερινόν,
ὑμνοῦμεν Πατέρα, Υἱὸν
καὶ ἅγιον Πνεῦμα Θεόν.
Ἄξιόν σε ἐν πᾶσι καιροῖς
ὑμνεῖσθαι φωναῖς αἰσίαις,
Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς
διὸ ὁ κόσμος σὲ δοξάζει.

## Β΄. ΟΨΙΣ

### ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ...

Μανουὴλ Πρωτοψάλτου (+1819).

#### ΨΑΛΜΟΣ Α΄.

Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν.

Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.

Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.

Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως· ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.

Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

#### ΨΑΛΜΟΣ Β΄.

Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

Π α ρ έ σ τ η σ α ν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Δ ι α ρ ρ ή ξ ω μ ε ν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.

Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.

Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.

Ἐ γ ὼ δὲ κατεστάθην Βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου.

Κύριος εἶπε πρός με: Υἱός μου εἶ σύ. Ἐγὼ σήμερον γεγέννηκά σε.

Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.

Καὶ νῦν, βασιλεῖς, σύνετε, παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν.

Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας.

Ὅ τ α ν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

#### ΨΑΛΜΟΣ Γ΄.

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου· ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Δόξα καὶ νῦν. Ἀλληλούϊα.